Ακαδημία Αθηνών / Academy of Athens

**χυμός.** Χυμός, humour, Δημόκριτος A 155 (DK II 126,36) *ἥ γε πολλὴ ἐπίρροια τῶν χ υ μ ῶ ν* 5g (τίτλ.) *Περὶ χ υ μ ῶ ν.*

**χωρεῖν.** Χωράω, have room for, Μέλισσος 7(9) *εἰ μὲν οὖν χ ω ρ ε ῖ τι ἢ εἰσδέχεται, οὐ πλέων· εἰ δὲ μήτε χ ω ρ ε ῖ μήτε εἰσδέχεται, πλέων.*

**χωρίζεσθαι.** Χωρίζομαι, be separated, Ἡράκλειτος 108 *ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κ ε χ ω ρ ι σ μ έ ν ο ν* Ἀναξαγόρας 6.5 *οὐκ ἂν δύναιτο χ ω ρ ι σ θ ῆ ν α ι, οὐδ' ἂν ἐφ' ἑαυτοῦ γενέσθαι, ἀλλ' ὅπωσπερ ἀρχὴν εἶναι καὶ νῦν πάντα ὁμοῦ* 8.1 *οὐ κ ε χ ώ ρ ι σ τ α ι ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κόσμῳ οὐδὲ ἀποκέκοπται πελέκει.*

**χωρίς.** Χωριστά, separately, Παρμενίδης 8.56 *τἀντία δ' ἐκρίναντο δέμας καὶ σήματ' ἔθεντο χ ω ρ ὶ ς ἀπ' ἀλλήλων* Φιλόλαος 11.14 *σχίζων τοὺς λόγους χ ω ρ ὶ ς ἑκάστους τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν περαινόντων* Ἀναξαγόρας 6.3 *οὐδὲ χ ω ρ ὶ ς ἔστιν εἶναι, ἀλλὰ πάντα παντὸς μοῖραν μετέχει.*

**χῶρος.** Χῶρος/τόπος, region/place, Ἐμπεδοκλῆς 118 *κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χ ῶ ρ ο ν* 121.1 *ἀτερπέα χ ῶ ρ ο ν, ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κηρῶν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ